C

## *ΑΡΧΙΛΕΩΝΙΣ*

*Ἀρχιλεωνὶς ἡ Βρασίδου μήτηρ, τελευτήσαντος αὐτῇ τοῦ υἱοῦ, ὡς παραγενόμενοί τινες τῶν Ἀμφιπολιτῶν εἰς Σπάρτην ἧκον πρὸς αὐτήν, ἠρώτησεν εἰ καλῶς καὶ ἀξίως τῆς Σπάρτης ὁ υἱὸς ἐτελεύτα· μεγαλυνόντων δ' ἐκείνων καὶ λεγόντων ἄριστον ἐν τοῖς ἔργοις ἁπάντων Λακεδαιμονίων εἶναι, εἶπεν· 'ὦ ξένοι, καλὸς μὲν ἦν κἀγαθὸς ὁ παῖς μου, πολλοὺς δ' ἄνδρας Λακεδαίμων ἔχει τήνου κάρρονας.'*

## *ΓΟΡΓΩ*

D 1. *Γοργώ, βασιλέως Κλεομένους θυγάτηρ, Ἀρισταγόρου τοῦ Μιλησίου παρακαλοῦντος αὐτὸν ἐπὶ τὸν πρὸς βασιλέα πόλεμον ὑπὲρ Ἰώνων καὶ ὑπισχνουμένου χρημάτων πλῆθος καὶ ὅσῳ ἀντέλεγε πλείονα προστιθέντος, 'καταφθερεῖ σε' ἔφη, 'ὦ πάτερ, τὸ ξενύλλιον, ἐὰν μὴ τάχιον αὐτὸν τῆς οἰκίας ἐκβάλῃς.'*

2. *Προστάξαντος δέ ποτ' αὐτῇ τοῦ πατρὸς δοῦναί τινι σῖτον εἰς μισθοῦ λόγον καὶ προστιθέντος 'ἐδίδαξε γάρ με τὸν οἶνον χρηστὸν ποιεῖν', 'οὐκοῦν, ὦ πάτερ' ἔφη,*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/223 UNIVERSITÄT LEIPZIG